Ακαδημία Αθηνών / Academy of Athens

τος Ο c ἀναγνοὺς αὐτοῖς τὸν *Μέγαν δ ι ά κ ο σ μ ο ν καὶ τὰ Περὶ τῶν ἐν Ἅδου* εἶπεν εἰς ταῦτα ἀνηλωκέναι 4 b *Μέγας δ ι ά κ ο σ μ ο ς* 4 c *Μικρὸς δ ι ά κ ο σ μ ο ς* 5 γέγονε δὲ (sc. Δημόκριτος) τοῖς χρόνοις, ὡς αὐτός φησιν *ἐν τῷ Μικρῷ δ ι α κ ό σ μ ῳ, νέος κατὰ πρεσβύτην Ἀναξαγόραν*...*συντετάχθαι* δέ φησι τὸν *Μικρὸν δ ι ά κ ο σ μ ο ν*. Πρβλ. *διακοσμεῖν, κοσμεῖσθαι, μετακοσμεῖσθαι.*

**διακρίνεσθαι** (ἀντίθ. *συμμίσγεσθαι, συγκρίνεσθαι, προσκρίνεσθαι*) **1.** Διαχωρίζομαι, be separated, Ἀναξαγόρας 5.1 *τούτων δὲ οὕτω δ ι α κ ε κ ρ ι μ έ ν ω ν γινώσκειν χρή, ὅτι πάντα οὐδὲν ἐλάσσω ἐστὶν οὐδὲ πλείω (οὐ γὰρ ἀνυστὸν πάντων πλείω εἶναι), ἀλλὰ πάντα ἴσα ἀεὶ* 12.16 *καὶ τὰ συμμισγόμενά τε καὶ ἀποκρινόμενα καὶ δ ι α κ ρ ι ν ό μ ε ν α πάντα ἔγνω νοῦς* 12.26 *παντάπασι δὲ οὐδὲν ἀποκρίνεται οὐδὲ δ ι α κ ρ ί ν ε τ α ι ἕτερον ἀπὸ τοῦ ἑτέρου πλὴν νοῦ.* **2** (ἀντίθ. *προσκρίνεσθαι*). Διαφορίζομαι, be differentiated, Ἀναξαγόρας 13 *καὶ ἐπεὶ ἤρξατο ὁ νοῦς κινεῖν, ἀπὸ τοῦ κινουμένου παντὸς ἀπεκρίνετο, καὶ ὅσον ἐκίνησεν ὁ νοῦς, πᾶν τοῦτο δ ι ε κ ρ ί θ η· κινουμένων δὲ καὶ δ ι α κ ρ ι ν ο μ έ ν ω ν ἡ περιχώρησις πολλῷ μᾶλλον ἐποίει δ ι α κ ρ ί ν ε σ θ α ι.* **3** (συνών. *ἀπόλλυσθαι*). Χωρίζομαι στὰ συστατικὰ μέρη, be separated into components, Ἀναξαγόρας 17.4-6 *οὐδὲν γὰρ χρῆμα γίνεται οὐδὲ ἀπόλλυται, ἀλλ' ἀπὸ ἐόντων χρημάτων συμμίσγεταί τε καὶ δ ι α κ ρ ί ν ε τ α ι. καὶ οὕτως ἂν ὀρθῶς καλοῖεν τό τε γίνεσθαι συμμίσγεσθαι καὶ τὸ ἀπόλλυσθαι δ ι α κ ρ ί ν ε σ θ α ι.* Πρβλ. *ἀποκρίνεσθαι, μίσγεσθαι.*

**διακριτικῶς.** Χωριστά, separately, Δημόκριτος 164.7 *ὅπου μὲν γὰρ κατὰ τὸν τοῦ κοσκίνου δῖνον δ ι α κ ρ ι τ ι κ ῶ ς φακοὶ μετὰ φακῶν τάσσονται καὶ κριθαὶ μετὰ κριθῶν καὶ πυροὶ μετὰ πυρῶν.* Πρβλ. *ἀποκρίνειν, ἀπόκρισις, διακρίνεσθαι.*

**διάλλαξις.** Χωρισμὸς καὶ ἐναλλαγή, separation and interchange, Ἐμπεδοκλῆς 8.3 *ἀλλὰ μόνον μίξις τε δ ι ά λ λ α ξ ί ς τε μιγέντων ἔστι, φύσις δ' ἐπὶ τοῖς ὀνομάζεται ἀνθρώποισιν.* Πρβλ. *ἀνταμοιβή, διαλλάσσειν.*

**διαλλάσσειν** (συνών. *διαμείβειν, μεταβάλλειν, μεταλλάσσειν,*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ